Βισαλτία. Βισάλται

ὡς δὲ ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο ὁ στρατός, ἐν- Ηροδ. VII. 115
θαῦτα πρὸς ἡλίου δυσμέων ἐστὶ αἰγιαλός, ἐν τῷ σελ. 169
οἰκημένην Ἄργιλον πόλιν Ἑλλάδα παρεξήιε.
αὕτη δὲ καὶ ἡ κατύπερθε ταύτης καλέεται Βισαλ-
τίη.

ἔνθα ὁ τῶν Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστω-... VIII. 116
νικῆς Θρῆιξ ἔργον ὑπερφυὲς ἐργάσατο. ὃς οὔτε αὐ- σελ. 272.
τὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι δουλεύσειν, ἀλλ' οἴχετο
ἄνω ἐς τὸ ὄρος τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε....
ὅρα καὶ Κρηστὼν ἐν παραθέσει [illegible]

«Πρὸς δὲ τούτοις χιλίους μὲν ἔστειλεν (λ) εἰς Χερρόνησον Πλουτ. Πε-
κληρούχους, εἰς δὲ Νάξον πεντακοσίους, εἰς δὲ Ἄν- ρικλῆς.
δρον ἡμίσεις τούτων, εἰς δὲ Θρᾴκην χιλίους Βισάλ- XI. σελ. 310.
ταις συνοικήσοντας. - - - - Καὶ ταῦτ' ἔπραττεν
(Περικλῆς) ἀποκουφίζων μὲν ἀργοῦ καὶ διὰ σχολὴν
πολυπράγμονος ὄχλου τὴν πόλιν. - - - - - - -
φόβον δὲ καὶ φρουρὰν τοῦ μὴ νεωτερίζειν τι παρα-
κατοικίζων τοῖς συμμάχοις»

ὅρα κ. Ἠδωνες σ. 44α-49 παράθεσιν τοῦ
Κρόβυζοι σ. 54 τέλει

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

132

Βισάλται

Στράβων Ζ. Σελ. 465 — Ἔστι δ' ἡ χώρα ἡ πρὸς τοῦ Στρυμόνος πέραν, ἡ μὲν ἐπὶ τῇ θαλάττῃ καὶ τοῖς περὶ Δάτον τόποις Ὀδόμαντες καὶ Ἠδωνοὶ καὶ Βισάλται, οἵ τε αὐτόχθονες καὶ οἱ ἐκ Μακεδονίας διαβάντες, ἐν οἷς Ῥῆσος ἐβασίλευσεν. ὑπὲρ δὲ τῆς Ἀμφιπόλεως Βισάλται καὶ μέχρι πόλεως Ἡρακλείας, ἔχοντες αὐλῶνα εὔκαρπον, ὃν διαρρεῖ ὁ Στρυμὼν ὡρμημένος ἐκ τῶν περὶ Ῥοδόπην Ἀγριάνων, οἷς παράκειται τῆς Μακεδονίας ἡ Παρορβηλία, ἐν μεσογαίᾳ ἔχουσα κατὰ τὸν αὐλῶνα τὸν ἀπὸ Εἰδομένης Καλλίπολιν Ὀρθόπολιν Φιλιππόπολιν Γαρησκόν. ἐν δὲ τοῖς Βισάλταις ἀναπλέοντι τὸν Στρυμόνα καὶ ἡ Βέργη ἵδρυται, κώμη ἀπέχουσα Ἀμφιπόλεως περὶ διακοσίους σταδίους. - - - ..

Σελ. 466 — 36 ἐξ Ἀγριάνων γὰρ διὰ Μαίδων καὶ Σιντῶν εἰς τὰ μεταξὺ Βισαλτῶν καὶ Ὀδομάντων ἐκπίπτει ὁ Στρυμών(;).

ὅρα καὶ Κορτὶξ Ἑλλ. Ἱστορία Τ. Β. 687.
" " " Ε. 30.

Βισάλται

Θρακων δε Πιερες μεν ενεμοντο την Πιερι- Στρ. 456
αν και τα περι τον Όλυμπον, Παιονες δε τα περι
τον Αξιον ποταμον. Ηδωνοι δε και Βισάλ-
ται την λοιπην μεχρι Στρυμονος ων οι μεν αυ-
το τουτο προσηγορευοντο Βισάλται, Ηδωνων δε οι
μεν Μυγδονες οι δε Ηδωνες οι δε Σιθωνες.

Βισάλται, οι. 1) Θρακικη φυλη περι τον Στρυμόνα Λεξ. Ελ.
Ηρ. η Βισαλτία = η χώρα. Ηρ. 7. 115 πρβ. [illegible]
το εθνικ. Βισάλτης 3. έτερον εθν. Βισαλτικος, είδ
Θου. 4. 109

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ